καθάμαθε τὰ ἑκατέρων σώματα, καὶ τὴν ἑκάστου ψυχήν. οὐχὶ τὰ μὲν τῶν οὕτω διαιτωμένων συμμέτρως (μὴ γάρ μοι τὸ σπανιάκις συμβαῖνον εἴπῃς, κἂν εἴ τινες ἀσθενεῖς εἶεν ἐκ περιστάσεως ἑτέρας τινός, ἀλλ' ἀπὸ τῶν ἀεὶ καὶ συνεχῶς συμβαινόντων τὰς ψήφους λάμβανε) οὐχὶ τῶν μὲν συμμέτρως ἑστιωμένων εὔρωστα τὰ σώματα, καὶ τετρανωμέναι αἱ αἰσθήσεις τὴν οἰκείαν χρείαν πληροῦσι μετὰ πολλῆς τῆς εὐκολίας· ἐκείνων δὲ πλαδαρὰ καὶ παντὸς κηροῦ μαλακώτερα, καὶ ἑσμῷ νοσημάτων πολιορκούμενα; καὶ γὰρ καὶ ποδάγραι ταχέως αὐτοῖς ἐφίστανται, καὶ τρόμος ἄκαιρος, καὶ γῆρας ἄωρον, καὶ κεφαλαλγίαι, καὶ διατάσεις, καὶ στομάχων πηρώσεις καὶ ὀρέξεως ἀναίρεσις καὶ διηνεκῶν δέονται ἰα-

*fidem, cõsule vtrorumq; corpora, & singulorũ animam. Nónne ita moderatè viuentium (ne enim mihi, quod rarò cõtingit, dicas, & si qui ex alia quadam circũstantia ægri sunt, sed ex iis, quæ semper & continenter eueniunt fer sententiam) nónne, inquam, moderatè vescentiũ benè firma sunt corpora, ac sensus integri quiq; magna cum facilitate vicẽ suam impleant; illorum verò nimio hnmore vitiata omni cera molliora, & agmine morborũ obsessa. Nam & podagræ celeriter ea inuadunt, & timor importunus, & senectus immatura, & capitis dolores, distensiones & stomachorum deprauationes, appetitus amissio; perpetuis indigẽt*



*medicis,*